Οἰκουμενικον Πατριαρχειον Ökumenisches Patriarchat

Ἱερὰ Μητρόπολις
Αὐστρίας καὶ
Ἐξαρχία Οὐγγαρίας
καὶ Μεσευρώπης

Heilige Metropolis
von Austria und
Exarchat von Ungarn
und Mitteleuropa

Ἐπὶ τὰς Πηγὰς

Κυριακή, 1 Νοεμβρίου 2026

Κυριακὴ Ε΄ Λουκᾶ.
Μνήμη τῶν Ἁγίων Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἐξ Ἀσίας, τῆς μητρὸς αὐτῶν Θεοδότης καὶ τοῦ Ὁσίου Δαβίδ, τοῦ ἐν Εὐβοίᾳ.

Ἑωθινὸν Εὐαγγέλιον ΙΑ΄ (Ἰω κα΄: 15–25)

Στιχηρὸν Ἀναστάσιμον. Ἦχος πλ. α΄

Τὸν Σταυρὸν τοῦ Κυρίου ἐγκωμιάσωμεν, τὴν Ταφὴν τὴν ἁγίαν ὕμνοις τιμήσωμεν, καὶ τὴν Ἀνάστασιν Αὐτοῦ ὑπερδοξάσωμεν· ὅτι συνήγειρε νεκροὺς ἐκ τῶν μνημάτων, ὡς Θεὸς σκυλεύσας κράτος θανάτου καὶ ἰσχὺν διαβόλου· καὶ τοῖς ἐν ᾅδῃ φῶς ἀνέτειλε.

Ἐξαποστειλάρια. Ἦχος β΄

Μετὰ τὴν θείαν ἔγερσιν, τρὶς τῷ Πέτρῳ· Φιλεῖς με; πυθόμενος ὁ Κύριος, τῶν ἰδίων προβάτων, προβάλλεται ποιμενάρχην· ὃς ἰδὼν ὃν ἠγάπα ὁ Ἰησοῦς ἑπόμενον, ἤρετο τὸν Δεσπότην· Οὗτος δὲ τί; Ἐὰν θέλω, ἔφησε, μένειν τοῦτον ἕως καὶ πάλιν ἔρχομαι, τί πρὸς σὲ φίλε Πέτρε;

Ἦχος γ΄.

Τὴν χάριν τῶν ἰάσεων, ἐκ Θεοῦ εἰληφότες, Ἀνάργυροι μακάριοι, ἰατρεύετε νόσους, καὶ θεραπεύετε πάντας, τοὺς πιστῶς προστρέχοντας, τῷ θείῳ ὑμῶν τεμένει· διὰ τοῦτο συμφώνως, μακαρίζομεν ἀξίως, τὴν σεπτὴν ὑμῶν μνήμην.

Στιχηρὰ Ἀναστάσιμα. Ἦχος πλ. α΄

Κύριε, ἐσφραγισμένου τοῦ τάφου ὑπὸ τῶν παρανόμων, προῆλθες ἐκ τοῦ μνήματος καθὼς ἐτέχθης ἐκ τῆς Θεοτόκου· οὐκ ἔγνωσαν πῶς ἐσαρκώθης οἱ ἀσώματοί Σου Ἄγγελοι· οὐκ ἤσθοντο πότε ἀνέστης, οἱ φυλάσσοντές Σε στρατιῶται· ἀμφότερα γὰρ

Zu den Quellen

Sonntag, 1. November 2026

Fünfter Lukassonntag.
Gedächtnis der Unentgeltlichen Heiligen Kosmas und Damian aus Asien, ihrer Mutter Theodote und des ehrwürdigen Heiligen David von Euböa.

Morgenevangelium XI (Joh 21,15–25)

Auferstehungssticheron. Fünfter Ton

Das Kreuz des Herrn wollen wir lobpreisen, die heilige Grablegung mit Lieder ehren und Seine Auferstehung hoch verherrlichen, denn die Toten hat Er als Gott aus den Gräbern mitauferweckt, die Macht des Todes und die Kraft des Teufels hat Er gebrochen, denen in der Unterwelt ist das Licht erstrahlt.

Exaposteilaria. Zweiter Ton

Nach der heiligen Auferweckung fragt der Herr dreimal den Petrus „Liebst du mich?“, und setzte ihn ein als Hirten über Seine Schafe. Als er aber den sah, den Jesus liebte, fragte er den Gebieter: Was wird denn mit ihm? Wenn ich will, sprach Er, dass er bleibt bis ich komme, was geht dich das an?

Dritter Ton

Die Gnade der Heilungen von Gott empfangen habend, selige Anargyroi (Unentgeltliche), heilt ihr die Krankheiten und heilt alle, die gläubig zu eurem göttlichen Heiligtum herbeieilen; deshalb preisen wir einmütig würdig euer ehrwürdiges Gedächtnis.

Auferstehungsstichera. Fünfter Ton

Herr, da das Grab verschlossen ward von den Gesetzlosen, stiegst Du heraus aus dem Grabmal, wie Du auch geboren wardst von der Gottesgebärerin. Die unkörperlichen Engel verstehen nicht wie Du Fleisch angenommen hast, die Wachsoldaten sahen nicht, wie Du erstanden bist – denn beides war den Forschenden

ἐσφράγισται τοῖς ἐρευνῶσι· πεφανέρωται δὲ τὰ θαύματα τοῖς προσκυνοῦσιν ἐν πίστει τὸ μυστήριον· ὃ ἀνυμνοῦσιν, ἀπόδος ἡμῖν ἀγαλλίασιν, καὶ τὸ μέγα ἔλεος.

Κύριε, αἱ γυναῖκες ἔδραμον ἐπὶ τὸ μνῆμα, τοῦ ἰδεῖν Σε τὸν Χριστόν, τὸν δι' ἡμᾶς παθόντα· καὶ προσελθοῦσαι εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τῷ φόβῳ κυλισθέντα, καὶ πρὸς αὐτὰς ἐβόησε λέγων· Ἀνέστη ὁ Κύριος· εἴπατε τοῖς μαθηταῖς ὅτι ἀνέστη ἐκ νεκρῶν ὁ σῴζων τὰς ψυχὰς ἡμῶν.

Κύριε, ὁ βασιλεὺς τῶν αἰώνων, καὶ ποιητὴς τῶν ἁπάντων, ὁ δι' ἡμᾶς σταύρωσιν, καὶ ταφὴν σαρκὶ καταδεξάμενος, ἵνα ἡμᾶς τοῦ ᾅδου ἐλευθερώσῃς πάντας, Σὺ εἶ ὁ Θεὸς ἡμῶν· ἐκτός Σου ἄλλον οὐκ οἴδαμεν.

Δοξαστικόν. Ἦχος πλ. δ΄

Φανερῶν Σεαυτόν τοῖς Μαθηταῖς Σου Σωτήρ μετὰ τὴν Ἀνάστασιν, Σίμωνι δέδωκας τὴν τῶν προβάτων νομὴν εἰς ἀγάπης ἀντέκτισιν τὴν τοῦ ποιμαίνειν φροντίδα αἰτῶν· διὸ καὶ ἔλεγες· Εἰ φιλεῖς με Πέτρε, ποίμαινε τὰ ἀρνία μου, ποίμαινε τὰ πρόβατά μου. Ὁ δὲ εὐθέως ἐνδεικνύμενος τὸ φιλόστοργον, περὶ τοῦ ἄλλου μαθητοῦ ἐπυνθάνετο. Ὧν ταῖς πρεσβείαις Χριστέ, τὴν ποίμνην Σου διαφύλαττε, ἐκ λύκων λυμαινομένων αὐτήν.

Ἀπολυτίκιον Ἀναστάσιμον. Ἦχος πλ. α΄

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει Αὐτοῦ.

Ἀπολυτίκιον τῶν Ἁγίων. Ἦχος πλ. δ΄

Ἅγιοι Ἀνάργυροι καὶ θαυματουργοί, ἐπισκέψασθε τὰς ἀσθενείας ἡμῶν, δωρεὰν ἐλάβετε, δωρεὰν δότε ἡμῖν.

Ἀπολυτίκιον τοῦ Ναοῦ. Ἦχος δ΄

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, τροπαιοφόρε μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος β'

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς, ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ

versiegelt. Jenen aber, die Dich verehren, wird im Glauben das Geheimnis wundersam geoffenbart. So singen sie, schenke uns Freude und das große Erbarmen.

Herr, die Frauen liefen zum Grab, um Dich zu sehen, den Christus, der für uns gelitten hat. Und sie fanden einen Engel auf dem Stein sitzen, aus Furcht wichen sie zurück und er rief ihnen zu: Erstanden ist der Herr, sagt es den Jüngern, denn auferstanden ist Er von den Toten, der unsere Seelen rettet.

Herr und König über die Ewigkeiten und Schöpfer aller Dinge, Du hast für uns die Kreuzigung und das Grab auf Dich genommen, um uns alle aus der Unterwelt zu befreien, Du bist unser Gott, außer Dir kennen wir keinen anderen.

Doxastikon. Achter Ton

Als Du Dich Deinen Jüngern nach der Auferstehung zeigtest, Erlöser, hast Du dem Simon den Weideplatz der Schafe gewiesen, zur Vergeltung der Liebe, und hast ihm aufgetragen, die Schafe zu weiden. Deshalb sagtest Du: Wenn Du mich liebst, Petrus, weide meine Lämmer, weide meine Schafe. Doch als dieser die zärtliche Liebe offenbarte, fragte er sogleich nach dem anderen Jünger. Auf deren Fürsprache, Christus, bewahre Deine Herde vor den Wölfen, die sie bedrohen.

Auferstehungsapolytikion. Fünfter Ton

Den mit dem Vater und dem Geist gleich anfanglosen Logos, Der aus der Jungfrau geboren ward zu unserem Heil, lasst uns lobpreisen und anbeten, ihr Gläubigen. Denn es gefiel Ihm, im Fleisch das Kreuz zu besteigen und den Tod zu erleiden und die Toten aufzuerwecken in Seiner glorreichen Auferstehung.

Apolytikion der Märtyrer. Achter Ton

Heilige uneigennützige und wunderwirkende Ärzte, nehmt euch unserer Krankheiten an: umsonst habt ihr empfangen, umsonst gebt auch uns.

Apolytikion der Kirche. Vierter Ton

Befreier der Gefangenen und Beschützer der Armen, Arzt der Kranken und Verteidiger der Herrschenden, du Träger des Siegeszeichens und Großmärtyrer Georg, bitte Christus, Gott, unsere Seelen zu erretten.

Kontakion. Zweiter Ton

Der Christen unfehlbare Behüterin, stete Fürbitte vor dem Schöpfer: Überhöre nicht das Flehen der Sünder, sondern eile, Gütige, uns zu helfen, die wir dir gläubig rufen. Eile dich und bitte für uns um Hilfe,

προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Προκείμενον. Ἦχος δ'

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.
Στίχ. Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός.

Ἀποστολικὸν Ἀνάγνωσμα

(Α' Κορ. ιβ' :27 – 31; ιγ':1 – 8)

Ἀδελφοί, ὑμεῖς ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες διδάσκαλοι; μὴ πάντες δυνάμεις; μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσι; ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα. καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.

Εὐαγγέλιον (Λκ ις΄: 19–31)

Εἶπεν ὁ Κύριος· Ἄνθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς. Πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ. Ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν Ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ· ἀπέθανε δὲ καὶ ὁ

Gottesgebärerin und ewiger Schutz für alle, die dich ehren.

Prokeimenon. Vierter Ton

Großes hat der Herr getan an Seinen Heiligen auf Erden.
Vers: Ich stellte mir den Herrn immer vor Augen.

Apostellesung (A' Kor 12:27 – 31; 13:1 – 8)

Brüder, ihr aber seid der Leib Christi und jeder Einzelne ist ein Glied an ihm. So hat Gott in der Kirche die einen erstens als Apostel eingesetzt, zweitens als Propheten, drittens als Lehrer; ferner verlieh er die Kraft, Machttaten zu wirken, sodann die Gaben, Krankheiten zu heilen, zu helfen, zu leiten, endlich die verschiedenen Arten von Zungenrede. Sind etwa alle Apostel, alle Propheten, alle Lehrer? Haben alle die Kraft, Machttaten zu wirken? Besitzen alle die Gabe, Krankheiten zu heilen? Reden alle in Zungen? Können alle übersetzen? Strebt aber nach den höheren Gnadengaben! Dazu zeige ich euch einen überragenden Weg: Wenn ich in den Sprachen der Menschen und Engel redete, hätte aber die Liebe nicht, wäre ich dröhnendes Erz oder eine lärmende Pauke. Und wenn ich prophetisch reden könnte und alle Geheimnisse wüsste und alle Erkenntnis hätte; und wenn ich alle Glaubenskraft hätte, sodass ich Berge versetzte, hätte aber die Liebe nicht, wäre ich nichts. Und wenn ich alle meine Habe verschenkte und wenn ich meinen Leib dem Ruhm opferte, hätte aber die Liebe nicht, nützte es mir nichts. Die Liebe ist langmütig, die Liebe ist gütig. Sie eifert nicht eifernd, sie prahlt nicht, sie bläht sich nicht auf. Sie handelt nicht ungehörig, sucht nicht das Ihre, lässt sich nicht zum Zorn reizen, trägt das Böse nicht nach. Sie freut sich nicht über das Unrecht, sondern freut sich an der Wahrheit. Sie erträgt alles, glaubt alles, hofft alles, duldet alles. Die Liebe hört niemals auf.

Evangelium (Lk 16,19–31)

Es war aber ein reicher Mann, der kleidete sich in Purpur und feine Leinwand und lebte alle Tage herrlich und in Freuden. Es war aber ein Armer mit Namen Lazarus, der lag vor seiner Tür voller Geschwüre und begehrte sich zu sättigen mit den Brotsamen, die von des Reichen Tische fielen; doch kamen auch die Hunde und leckten seine Geschwüre. Es begab sich aber, dass der Arme starb, und er wurde von den Engeln getragen in Abrahams Schoß. Der Reiche aber starb auch und wurde begraben. Als er nun in der Unterwelt seine Augen aufschlug in seiner

πλούσιος καὶ ἐτάφη. Καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ Ἀβραὰμ ἀπὸ μακρόθεν καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. Καὶ αὐτὸς φωνήσας εἶπε· πάτερ Ἀβραάμ, ἐλέησόν με καὶ πέμψον Λάζαρον ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. Εἶπε δὲ Ἀβραάμ· Τέκνον, μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι· καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν. Εἶπε δέ· Ἐρωτῶ οὖν σε, Πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου· ἔχω γὰρ πέντε ἀδελφούς· ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου. Λέγει αὐτῷ Ἀβραάμ· ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν. Ὁ δὲ εἶπεν· οὐχί, πάτερ Ἀβραάμ, ἀλλ' ἐάν τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτούς, μετανοήσουσιν. Εἶπε δὲ αὐτῷ· εἰ Μωϋσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ πεισθήσονται.

Qual, sieht er Abraham von ferne und Lazarus in seinem Schoß. Und er rief: Vater Abraham, erbarme dich meiner und sende Lazarus, dass er die Spitze seines Fingers ins Wasser tauche und kühle meine Zunge; denn ich leide Pein in dieser Flamme. Abraham aber sprach: Gedenke, Sohn, dass du dein Gutes empfangen hast in deinem Leben und Lazarus dagegen hat Böses empfangen; nun wird er hier getröstet, du aber leidest Pein. Und über das alles ist zwischen uns und euch eine große Kluft befestigt, dass die, die von hier zu euch hinübergehen wollen, es nicht können, und auch die von dort nicht zu uns herüberkommen. Da sprach er: So bitte ich dich, Vater, dass du ihn sendest in meines Vaters Haus; denn ich habe fünf Brüder, dass er ihnen zeuge, auf dass sie nicht auch kommen an diesen Ort der Qual. Abraham sprach zu ihm: Sie haben Mose und die Propheten; die sollen sie hören. Er aber sprach: Nein, Vater Abraham, sondern wenn einer von den Toten zu ihnen ginge, so würden sie Buße tun. Er sprach zu ihm: Hören sie Mose und die Propheten nicht, so werden sie sich auch nicht überzeugen lassen, wenn jemand von den Toten auferstünde.

Ποιό εἶναι τὸ μέλλον μας;

Κατὰ τὸν Ἅγιο Μάξιμο τὸν Ὁμολογητή, ὁ Κύριος δίδει, ὡς δοκιμασία, σὲ κάποιους «πολλὰ ἀγαθά» καὶ σὲ ἄλλους «λυπηρά» ἢ καὶ «ὀδυνηρά». Στοὺς πρώτους λέγει: «Ὅποιος δὲν ἀπαρνεῖται τὰ ὑπάρχοντά του δὲν εἶναι μαθητής μου» καὶ στοὺς ἄλλους: «Μὲ τὴν ὑπομονή σας θὰ κερδίσετε τὶς ψυχές σας».Οἱ Χριστιανοὶ ὁμολογοῦν τὸν ἕνα Τριαδικὸ Θεὸ καὶ προσδοκοῦν «ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος». Ὁ ἐνανθρωπήσας Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἀναστήθηκε ἐκ νεκρῶν καὶ κατήργησε τὸν θάνατο. Ὅποιος ἑνωθεῖ μὲ Ἐκεῖνον, ζητεῖ τὸ ἔλεός Του, ποιεῖ τὸ θέλημά Του καὶ «ἔχει ζωὴν αἰώνιον»(Ἰω γ΄36)

Was ist unsere Zukunft?

Nach dem heiligen Maximus dem Bekenner gibt der Herr als Prüfung manchen „viele Güter“ und anderen „Trauriges“ oder auch „Schmerzhaftes“. Zu den Ersten sagt er: „Wer nicht auf seinen Besitz verzichtet, kann nicht mein Jünger sein“, und zu den Anderen: „Durch eure Geduld werdet ihr eure Seelen gewinnen.“
Die Christen bekennen den einen dreieinigen Gott und erwarten „die Auferstehung der Toten und das Leben der zukünftigen Welt“. Der menschgewordene Sohn und Logos Gottes ist von den Toten auferstanden und hat den Tod abgeschafft. Wer sich mit Ihm vereinigt, sein Erbarmen sucht, seinen Willen tut, der „hat das ewige Leben“ (Joh 3,36).

Ἡ /Ἱερὰ Μητρόπολις Αὐστρίας σᾶς εὐχαριστεῖ γιὰ τὴν ἐνίσχυση τοῦ ἔργου της.
Die Metropolis von Austria dankt für Ihre großzügige Unterstützung.
https://www.metropolisvonaustria.at
Körperschaft des öffentlichen Rechts gemäß Gesetz 229/23.06.1967
Bankverbindung RLB NOE Wien AG – IBAN: AT67 3200 0000 0660 4771 – BIC: RLNATWW